**5040.** Ὅ, τι δήποτε ποιεῖ ὁ βασιλικὸς ὑπηρέτης, εἴτε ἀγαθὸν, εἴτε κακὸν, τούτου ὁ βασιλεὺς μετέχει (εἰς τὸν βασιλέα ἀναφέρεται), καὶ τὸν καρπὸν τῆς κακίας καὶ τῆς ἀρετῆς ἀπολαμβάνει.

*Galanos*, Varr. 77.

**6483.** Ἡ γῆ καθαρά ἐστιν ἀεὶ, εἰ μή τις προσείη ἀκαθαρσία· ἐκτὸς οὖν τῆς ἐνούσης ἀκαθαρσίας, πᾶς τις τόπος τῆς γῆς καθαρός ἐστιν ἀεί.

*Galanos.*

**6642. (3081.)** Ἐν ματαίῳ τῷδε βίῳ κατὰ τοὺς καρποὺς σφαλερῷ ὄντι δύο εἰσὶν ὁδοὶ τῶν σοφῶν· ποτὲ μὲν διαγόντων τὸν χρόνον τῷ κινεῖσθαι τὸν νοῦν νηχόμενον ὡς ἐν ὕδατι ἐν τῷ τῆς τἀληθοῦς γνώσεως νέκταρι· εἰ δὲ μὴ, τῷ σπουδάζειν ὅπως κρυφθέντι τῷ θέναρι ἅψονται τοῦ σαρκώδους βουβῶνος χαριεσσῶν κορῶν, αἵτινες μαστῶν καὶ γλουτῶν στιφρῷ κέχρηνται ὄγκῳ.

**6841. (3174.)** Ὅστις ἐστὶ γεγυμνασμένος πᾶν εἶδος ὅπλων, καὶ εἰδήμων τῆς ἱππικῆς, ἀνδρεῖός τε καὶ ῥωμαλέος, οὗτός ἐστι στρατηγὸς ἄξιος.

*Galanos.*

**6854. (3179.)** Περιπλέκεται μὲν ὁ ἀνὴρ ὀργῶν στιφρὰν σάρκα κόλπον οἰόμενος, πίνει δὲ στόμα σιάλου πλῆρες ὡς οἴνου κύλικα, ἐπτοημένος δὲ περὶ τὴν ἀφὴν κέλευθον ἀσπάζεται μυσαρᾷ νοτίδι ὑγράν· τοῖς ὑπὸ μεγάλης ἀνοίας τυφλοῖς τί οὐχὶ ἐνθάδε τερπνόν ἐστιν;

**7107.** Καλὸν ἄνδρα εἴτ' ἀδελφὸν εἴτε πατέρα εἴθ' υἱὸν ὁρώσης τῆς γυναικὸς τὸ αἰδοῖον νοτίζεται, ἀληθῶς, ναὶ ἀληθῶς, ὦ Κρίσνε.

**7128.** Καλὸν ἄνδρα εἴτε πατέρα εἴτ' ἀδελφὸν εἴθ' υἱὸν ὁρωσῶν τῶν γυναικῶν τὸ σῶμα νοτίζεται· ἰδοῦ τὴν τοῦ Ἔρωτος πραγματείαν.

**7134. (5268.)** Εὐείμονα ἄνδρα εἴτ' ἀδελφὸν εἴθ' υἱὸν ὁρώσης τῆς γυναικὸς τὸ αἰδοῖον νοτίζεται, ἀληθῶς, ναὶ ἀληθῶς, ὦ Νάραδε.

**7144. (5276.)** Εὔλουτον ἄνδρα, εὔοσμον, ῥύπου καθαρὸν ὁρωσῶν τῶν γυναικῶν τὰ αἰδοῖα νοτίζεται, ὥσπερ κεράμιον μὴ ὀπτῆς γῆς ὕδατι.

**7186. (3297.)** Τὸ [ἀεὶ] ἐπίψογον σῶμα τῶν γυναικῶν ἐπαινεῖται ἐν τοῖς ποιήμασι τῶν ποιητῶν (genauer ὑπὸ ἐνδόξων ποιητῶν)· οἱ μὲν γὰρ μαζοὶ, οἱ ὄντες οἰδήματα ἐκ κρέατος, συγκρίνονται δύο χρυσοῖς λαγηνίοις· τὸ δὲ πρόσωπον, τὸ ὂν πλῆρες φλέγματος καὶ κορύζης καὶ λήμης, παραβάλλεται τῇ Σελήνῃ· ὁ δὲ μηρὸς, ὁ ὢν κατάβροχος ἐκ τοῦ ῥέοντος οὔρου, ὁμοιοῦται τῇ προβοσκίδι τοῦ ἐλέφαντος. *Galanos.*

**7199.** Ἐρωμένου φανέντος εἶτ' ἐράστρια
γυμνοῖ τὸν αὑτῆς ὀμφαλὸν, καὶ, πολλὰ μὲν
βλέπουσα λοξὰ, πολλὰ δ' ἀρϑείσῃ χερὶ
κοσμοῦσα χαίτης ἀνϑίνους περιπλοκὰς,
τὴν μασχάλην δείκνυσι τῷ νεανίᾳ·
καὶ δὴ πέφρικε καταχέουσ' ἱδρῶϑ' ὁμοῦ,
μαστῶν τε φαίνει μῆλα, πολλάϑ' ἱμέρῳ
βληϑεῖσα φωνεῖ, χὔστατον ζώνην λύει,
χεῖλός τε δάκνει συντόνως κινουμένη.

***Moriz Schmidt.***

**7518.** Καὶ τὸ ἀγαϑὸν, κακὸν γίνεται, ὅταν ἀντίξους ᾖ ἡ τύχη· ὅταν δ' ἡ τύχη βοηϑῇ, καὶ τὸ κακὸν, ἀγαϑὸν γίνεται. *Galanos.*

**7524.** Πρὸς μὲν τοὺς κακοὺς ὅ, τι ἂν ἀγαϑὸν ποιήσῃ ὁ ἄνϑρωπος, τοῦτο εὐϑέως ἀφανίζεται, ὡς ἡ ἐν ὕδατι γραμμή· πρὸς δὲ τοὺς ἀγαϑοὺς, κἂν μικρόν τι ποιήσῃ, τοῦτο διαμένει, ὡς ἡ ἐν πέτρᾳ γραμμή. *Galanos.*

**7546.** Ἐν ὁμιλίᾳ κακῶν ἀνϑρώπων καὶ ὁ ἀγαϑὸς ἄνϑρωπος, κακὸς γίνεται· παραδείγματος χάριν, τὸ ὕδωρ καϑαρὸν μέν ἐστιν ἐκ φύσεως· ϑολὸν δὲ γίνεται ἐκ μίξεως χοός. *Galanos.*

**7557.** Τῆς μὲν δικαιοσύνης ῥίζα ἐστὶν οἱ Βασιλεῖς, τῆς δὲ ἐγκρατείας οἱ Βραχμᾶνες· ὅπου δ' οἱ Βραχμᾶνες τιμῶνται, ἐκεῖ ὁ νόμος ἀΐδιος μένει καὶ ἀμετάτρεπτος. *Galanos.*

**7561.** Ὁ μὲν ποταμὸς καϑαιρεῖ τὴν ὄχϑην, ἡ δὲ γυνὴ τὴν οἰκίαν· καϑὼς δὲ ἡ τῶν ποταμῶν ὁρμὴ ἀκάϑεκτός ἐστιν, οὕτω καὶ ἡ τῶν γυναικῶν. *Galanos.*